# TEZAUR LITURGIC

## 2 OCTOMBRIE

HARALAMBOS BOUSIA

# SLUJBA SF.CUVIOS ANDREI DE LA CONSTANTINOPOL

ATENA,2010


ΑΠΟϹΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗϹ ЄΚΚΛΗϹΙΑϹ ΤΗϹ ЄΛΛΑΔΟϹ

# ΤΗ͂ ΚΗ΄ ΤΟΥ ΜΗΝΟΣ ΜΑΪΟΥ ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΟΣΙΟΥ ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝΑΝΔΡΕΟΥΤΟΥ ΔΙΑ ΧΡΙΣΤΟΝ ΣΑΛΟΥ

**Συνετέθη καὶ ἐγράφη παρὰ μοναχοῦ Ἰακώβου, οὗ μέμνησθε οἱ ἐντυγχάνοντες. Ἐν ἔτει σωτηρίῳ,͵αωμστ΄(1846)**
**Β΄ Κανών: Ποίημα Χαραλάμπους Μπούσια**

## ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

Εἰς τὸ Κύριε, ἐκέκραξα, ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια.Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Τὸν πρωτοκλήτου Ἀνδρέου σεπτὸν ἐπώνυμον, καὶ Βυζαντίου κλέος, εὐφημήσωμεν πόθῳ μωρίαν ἑκουσίως διὰ Χριστόν, ὡς ποθήσαντα κράζοντες· σοφίας δεῖξον συνοίκους τῆς τοῦ Θεοῦ, τοὺς ἀεὶ σὲ μακαρίζοντας.

Τὸν σὺν κυσὶν ἐν ταῖς ῥύμαις κατακοιμώμενον, τῆς Βασιλίδος, δεῦτε, θεοφόρον Ἀνδρέαν, σοφίαν συνοικοῦσαν ἐπιμελῶς, ἐν αὐτῷ ἀποκρύπτοντα, καὶ προσποιούμενον ἅπασι τὸν σαλόν, δι᾽ εὐσέβειαν τιμήσωμεν.

Τὸν πειρασμούς, ταπεινώσεις, ὕβρεις τε γέλωτας, χειμῶνος σφοδρότατου, ψῦχος, διαπομπεύσεις, εἰς ἅπασαν τὴν Πόλιν καὶ ῥαβδισμούς, ἀκλινῶς ὑπομείναντα, διὰ Χριστοῦ τὴν ἀγάπην πανευλαβῶς, νῦν Ἀνδρέαν εὐφημήσωμεν.

Ἐν Βλαχερνῶν τῷ σεμνείῳ τὸν θεασάμενον, ἐν μέσῳ

τῶν Ἀγγέλων καὶ Ἁγίων ἁπάντων, τὴν μόνην Θεοτόκον τοὺς εὐσεβεῖς, περισκέπουσαν ἄνωθεν, διὰ σεπτοῦ μαφορίου αὐτῆς σαλόν, νῦν Ἀνδρέαν ὕμνοις στέψωμεν.

Δόξα. Ἦχος α΄.

Τὸν οὐρανομήκη στῦλον τῆς ἐν Χριστῷ σοφίας, καὶ ὑπὸ πάντων ἐξουθενημένον ὡς ἔξηχον δι᾽ εὐσέβειαν, Ἀνδρέαν, εὐσχημόνως οἱ πιστοὶ τιμήσωμεν κράζοντες· ὁσίων ἀκρέμον καὶ Ἀγγέλων ἰσοστάσιε, ὁ μωραῖς προσποιήσεσι τὸν πάνσοφον Θεὸν δοξάσας, μὴ παύσῃ Αὐτὸν ἱλεούμενος ἡμῖν τοῖς ἄγουσι τὴν ἀεισέβαστον μνήμην σου.

Καὶ νῦν. Θεοτοκίον.

Ἁμαρτωλῶν τὰς δεήσεις προσδεχομένη, καὶ θλιβομένων στεναγμὸν μὴ παρορῶσα, πρέσβευε τῷ ἐξ ἁγνῶν λαγόνων σου, σωθῆναι ἡμᾶς, Παναγία Παρθένε.

Εἰς τὸν Στίχον, Στιχηρὰ Προσόμοια.

Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.

Σθένει τῷ τοῦ Σταυροῦ, περιφραχθεὶς δαιμόνων, οὐκ ἔπτηξας ἐνέδρας· ἀλλά, σοφὲ Ἀνδρέα, ὡς δαιμόνων ἐβίωσας.

Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.

Ἤνυσας ἀληθῶς, μέσον πολλῶν θορύβων, τὸν βίον σου, Ἀνδρέα, τὸν σοφιστὴν μωράνας, μωραῖς σου προσποιήσεσι.

Στίχ. Μακάριος ἀνήρ, ὁ φοβούμενος τὸν Κύριον, ἐν ταῖς ἐντολαῖς αὐτοῦ θελήσει σφόδρα.
Ἔφθασας θαυμαστῶς, θεωριῶν εἰς ὕψος, θειότατε Ἀνδρέα, ἀθέατα ἀῤῥήτως, τοῦ πόλου θεασάμενος.
Δόξα. Τριαδικόν.
Δόξα Σοι, Παντουργέ, Θεότης Τρισάγια, πρὸς Σού τῆς δόξης πλάτος, ἑλκύσασα Ἀνδρέαν, σαλὸν τὸν προσποιούμενον.
Καὶ νῦν. Θεοτοκίον.
Ἄνασσα οὐρανοῦ, καὶ γῆς λιταῖς Ἀνδρέου, τοῦ διὰ τὸν σὸν Τόκον, μωροῦ ἡμῖν ὀφθέντος, ἐλέησον τοὺς δούλους σου.
Νῦν ἀπολύεις, Τρισάγιον, τὸ Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καὶ Ἀπόλυσις.

## ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Μετὰ τὸν Προοιμιακόν, τὸ Μακάριος ἀνήρ. Εἰς τὸ Κύριε, ἐκέκραξα, ἱστῶμεν στίχους στ´ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια. Ἦχος β´. Ὅτε ἐκ τοῦ ξύλου.
Ὅτε ἐκ τῶν τῇδε καὶ φθαρτῶν, Πάτερ, ὁ διάπυρος πόθος, Χριστοῦ ἀφήρπασε, τότε σου τὴν ἔφεσιν πᾶσαν ἀνέθηκας, καὶ αὐτῷ ἠκολούθησας, μωρὰς προσποιήσεις, σοφῶς μετερχόμενος, ἐμπαροινούμενος· ὅθεν τὴν τρυφὴν τὴν ἀγήρω, πρὸς Χριστοῦ ἀπείληφας μάκαρ, τῶν σὲ νῦν τιμώντων προϊστάμενος.
Πᾶσαν τρικυμίαν τῶν παθῶν, μάκαρ κατεμάρανας

σφόδρα, τῇ ἐγκρατείᾳ σαρκός, ἄλλος ὥσπερ ἄσαρκος ἀγωνισάμενος, τὰς ὀρέξεις νεκρώσας σου, τοῖς πόνοις καὶ μόχθοις· ὅθεν καταγώγιον Πνεύματος γέγονας· πόθῳ οὖν τὴν μνήμην τὴν θείαν, σοῦ ἐπιτελοῦντας Ἀνδρέα, σῷζε ταῖς πρεσβείαις σου δεόμεθα.
Ὅτε ἀνεπτέρωσας τὸν νοῦν, πρὸς τὸν σοὶ ποθούμενον Πάτερ, καὶ ἐκ δυνάμεως, εἰς μείζονα δύναμιν Ἀνδρέα ἔφθασας, τότε φῶς σε οὐράνιον, κατήστραψεν ὅλον καὶ σοφίας χάρισμα, δέδωκε πλούσιον· ὅπερ οἱ πολλοὶ ἀγνοοῦντες, ἔξηχόν σε ᾤοντο εἶναι τὸν πλήρη σοφίας ἐνυπάρχοντα.
Σμῆνος τῶν δαιμόνων τῷ ἑσμῷ, τῶν σῶν ἀρετῶν ὡς κηφῆνας, δεινοὺς ἐσκόρπισας, καὶ πάσας ἐῤῥύθμισας αἰσθήσεις ἄριστα, τῆς ψυχῆς καὶ τοῦ σώματος, πρὸς μόνην τοῦ κτίστου, θείαν εὐαρέστησιν, Ἀνδρέα πάνσοφε· ὅθεν εὐχερῶς τοὺς ἀγῶνας, τῶν ἀσκητικῶν παλαισμάτων, καὶ πολλῶν ἱδρώτων ἐξετέλεσας.

Ἕτερα ἐκ τοῦ Σιναϊτικοῦ χειρογράφου.
Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.
Τῆς θαυμαστῆς καὶ γενναίας, καὶ ἐνάρετου σοῦ, ἐνθέου πολιτείας, καὶ φαιδρότητος βίου, καὶ τῶν κατορθωμάτων τῶν σῶν θαυμαστέ, ὁσιώτατε Πάτερ σοφέ, οὐκ ἐξισχύει εὐφήμως βρότειος νοῦς, ἀνυμνῆσαι Παμμακάριστε.
Ὑπομονῆς καρτερίᾳ, καὶ περιστάσεσι, καὶ πάσαις κακουχίαις, ἐμπαιγμούς τε μαστίγων, κολάσεις ἀφορήτους διὰ Χριστόν, πάντα θέλων ὑπήνεγκας, ἵνα

ζωῆς αἰωνίου ἀξιωθῇς, ὦ Ἀνδρέα Ὁσιώτατε.
Σὺν ἀσωμάτοις χορείαις, ἐν οὐρανοῖς κατοικῶν, καὶ σὺν Ὁσίων δήμοις, συναγάλλει τρισμάκαρ, μέμνησο τῶν πίστει εἰλικρινεῖ, εὐφημούντων σε Πάτερ σοφέ, ὡς παρεστὼς τῷ Σωτῆρι ὑπὲρ ἡμῶν, καθικέτευε σωθῆναι ἡμᾶς.
Δόξα. Ἦχος β΄.
Τὸν ἰσάγγελον βίον ἐπὶ γῆς ποθήσας μακάριε, προσποιουμένην μωρίαν ἐκέκτησο, τὸν σοφιστὴν τῆς κακίας μωράνας ἀοίδιμε, καὶ σῳζομένους προσάγων τῷ κτίστῃ σου, ἐν πενίᾳ καὶ κακουχίᾳ ἄκρᾳ διήνυσας, τυπτόμενος, λιθαζόμενος, ἐμπαινούμενος διὰ Κύριον, καὶ πάντα ἀνδρείως ὑπέμεινας Ἀνδρέα πανόλβιε· ὅθεν ἡ οὐράνιος τρυφή σε ὑπεδέξατο· καὶ νῦν ἐπαπολαύεις τὸ ἄχραντον φῶς, σὺν ἀγγέλοις ἀγαλλόμενος. Ἀλλὰ πρέσβευε ὑπὲρ ἡμῶν δεόμεθα τῶν πιστῶς σου τελούντων τὸ μνημόσυνον.
Καὶ νῦν. Τῆς Ἑορτῆς.

Εἴσοδος. Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.(Ζήτει τῇ ε΄ Δεκεμβρίου, τοῦ Ἁγίου Σάββα τοῦ Ἡγιασμένου).

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.(γ΄ 1-9).
Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ᾽ ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν

ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται. Ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν Ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ᾽ αὐτῷ, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.(ε΄ 15-23, στ΄1-3).

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν, τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα, δικαιοσύνην, καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα, ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν· συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν, ἐπὶ

σκοπὸν ἁλοῦνται· καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ᾽ αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς. Καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους Δυναστῶν. Ἀκούσατε οὖν Βασιλεῖς καὶ σύνετε· μάθετε δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις Ἐθνῶν. Ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.(δ´ 7-15).
Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον, οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις· καὶ ἡλικία γήρως, βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη, καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες, καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς

αὐτοῦ.

Εἰς τὴν Λιτήν, Ἰδιόμελα. Ἦχος α΄.
Τῶν λαμπρῶν σου ἀγώνων τὰ ἐξαίρετα τρόπαια, οὐρανῶν αἱ δυνάμεις κατεπλάγησαν, ὅπως ἐν σώματι θνητῷ μωραῖς προσποιήσεσι, τὸν ἀσώματον ἐχθρὸν ἐξενεύρισας καὶ ταῖς ἀνδρείαις σου ἐνστάσεσι, τὴν αὐτοῦ ἀνισχυρὸν δύναμιν ἐταπείνωσας, καὶ πολλοὺς τῶν σῳζομένων τῷ Δεσπότῃ προσήγαγες, τοῖς τερατώδεσι κατορθώμασι· διὸ θαυμάζουσί σε στρατιαὶ τῶν ἀγγέλων. Δοξάζομεν καὶ ἡμεῖς τὸν στεφοδότην Χριστόν, τὸν σὲ λαμπρῶς στεφανώσαντα· ὃν ἐκτενῶς ἱκέτευε Ἀνδρέα μακάριε, σωθῆναι τοὺς τιμῶντας τὴν μνήμην σου.
Ὁ αὐτός.
Διὰ πόνων πολλῶν, τὸν βίον ὅλον διήνησας, ἀπαθείᾳ καὶ φρονήσει τὴν ψυχὴν κατελάμπρυνας, Ἀνδρέα ἀείμνηστε, δεξάμενος δὲ δύναμιν παρὰ Θεοῦ τῶν ἐναντίων τὰς φάλαγγας ἔτρεψας, τῇ πανσθενίᾳ τοῦ Πνεύματος δυναμούμένος, ἐν ἀσιτίᾳ καὶ γυμνότητι διετέλεσας· νῦν δὲ ἐν παῤῥησίᾳ τῷ θρόνῳ τῆς τρισηλίου Θεότητος παριστάμενος, μνημονεῦε καὶ ἡμῶν τῶν τελούντων σου τὸ μνημόσυνον, τῆς τῶν παθῶν τυραννίδος, ῥυσθῆναι ταῖς ἱκεσίαις σου.
Ἕτερον ἐκ Σιναϊτικοῦ χειρογράφου.
Ὁ αὐτός.
Τῶν ἀγγέλων ἰσοστάσιος γέγονας, βίον ἅγιον ἐπὶ γῆς κτησάμενος, ἐμπαιγμοὺς ὑποφέρων, δαίμονας

ἐτροπώσω, τὸν βίον ὁσίως τελέσας, πρὸς Κύριον ἐξεδήμησας· διὸ πρέσβευε Χριστῷ τῷ Θεῷ Πατὴρ ἡμῶν Ἀνδρέα, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἦχος β΄.

Τίς ἰσχύσει πρεπωδῶς ἀνυμνῆσαί σε, Ὅσιε; Τῇ δυνάμει γὰρ τοῦ σταυροῦ περιφραχθείς, τῶν δαιμόνων τὰς ἐνέδρας οὐκ ἔπτηξας, ἀλλ᾽ ἀκλινεῖ γνώμῃ, τὰς φάλαγγας τούτων διώλεσας, καὶ τελέσας ἀνδρικῶς τὸν ἀγῶνά σου, ὡς τῆς ἀνδρείας φερώνυμος, ἐν οὐρανοῖς ἀπολαύεις τῶν ποθουμενών σοι· διὸ παῤῥησίαν πεπλουτηκὼς πρὸς Χριστὸν τὸν Θεὸν αἴτησαι δωρηθῆναι καὶ ἡμῖν τοῖς τιμῶσί σε τὸ μέγα ἔλεος.

Δόξα. Ἦχος δ΄.

Τὸν ἰσάγγελον ἐπὶ γῆς πολιτευσάμενος βίον, μακάριε, ὡς ἄσαρκος διετέλεσας καὶ ἐν μέσῳ θορύβων διάγων, τὸν νοῦν πρὸς οὐρανὸν ἀνεπτέρωσας, ἀδιαλείπτως ἐμμελετῶν τὰ κρείττονα· διὸ καὶ ἡ μνήμη σου σήμερον, εὐφροσύνης πρόξενος ἡμῖν ἐπέστη· καὶ ἑορτὴν χαρμόσυνον ἐκτελοῦντες, δοξάζομεν Χριστὸν τὸν Θεὸν τὸν σὲ δοξάσαντα, καὶ παρασχόντα ἡμῖν, πρὸς αὐτὸν πρέσβυν ἄγρυπνον, εἰς τὸ σῴζεσθαι ἡμᾶς ἀτρώτους, τῶν τοῦ πονηροῦ ἐπινοιῶν.

Καὶ νῦν. Τῆς Ἑορτῆς.

Εἰς τὸν Στίχον, Στιχηρὰ Προσόμοια.

Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.

Χαίροις ὁ τὴν ὁδὸν τοῦ Σταυροῦ, ὑπερτιμήσας

ἀνδρικῶς τῇ ἀσκήσει σου, ἑκὼν γὰρ πλαστὴν μωρίαν, τρόπον τοῦ ζῆν ἐφευρῶν, τὸν σοφὸν ἐχθρὸν σοῦ ἀπεμώρανας· στολὴν γὰρ ἐνδέδυσαι, ταπεινώσεως Ὅσιε, ἣν ἐνεδύθη, ὁ ὑπέρθεος Κύριος, καὶ κατήργησε, δι᾽ αὐτῆς τὸν ἀντίπαλον. Ὅθεν στοχεύων πάντοτε, Ἀνδρέα θεόσοφε, εὐαρεστεῖν Αὐτῷ μόνον, τῶν ὑπὲρ λόγον ἠξίωσαι, φρικτῶν μυστηρίων, ἃ ὁρῶσιν οἱ τελείως, Χριστῷ συνήνωνται.

Στίχ. Καυχήσονται ὅσιοι ἐν δόξῃ καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν.

Χαίροις ὁ δι᾽ ἀγάπην Χριστοῦ, κόσμον μισήσας καὶ κενόδοξον ἔπαρσιν, καὶ στέφει λαμπρῷ τῆς χλεύης, καὶ ἐμπαιγμοῦ κοσμηθείς, ὡς ὁ Βασιλεύων πάσης κτίσεως· καθ᾽ ὅσον γὰρ μέγιστε, ἐταπείνους τὸ φρόνημα, τοσαύτην εἶχες, ἐκ Θεοῦ τὴν ἀντίδοσιν, ἣν χαρίζεται, τοῖς πτωχοῖς ἐν τῷ πνεύματι. Μέμνησο οὖν δεόμεθα, Ἀνδρέα πανόσιε, τῶν ἐν βαθείᾳ ἀγάπῃ, ἐπιτελούντων τὴν μνήμην σου, καὶ χάρισμα δίδου, ταπεινώσεως τὸ μέγα, τοῖς σὲ γεραίρουσι.

Στίχ. Ὑπομένων ὑπέμεινα τὸν Κύριον, καὶ προσέσχε μοι καὶ εἰσήκουσε τῆς δεήσεώς μου.

Χαίροις τοῖς οὐρανίοις χοροῖς, ἁμιλληθεὶς σαρκίον φέρων τὸ εὔθραυστον, καὶ ἅπασιν ἐκδιδάσκων, κατορθωτὴν τὴν ὁδόν, ἣν ὁ Πανοικτιρμῶν καθυπέδειξε, γενόμενος ἄνθρωπος, ἵνα σώσῃ τὸν ἄνθρωπον, θείᾳ κενώσει, καὶ θανάτῳ ἀσχήμονι, οὗ τὴν μίμησιν, ἐξελέξω μακάριε· χαῖρε Ἀνδρέα ὅσιε, σαλῶν θεῖον προτύπον, καὶ νομιζόντων νοῦν ἔχειν, ὁ

ταπεινῶν ἅπαν φρύαγμα, Χριστὸν μὴ ἐλλίπῃς, ἱκετεύειν δωρηθῆναι, ἡμῖν τὸ ἔλεος.

Δόξα. Ἦχος πλ. β΄.

Τὸν τῆς ἀνδρείας ἐπώνυμον, καὶ τοῦ πρωτοκλήτου συνώνυμον, Βυζαντίου τὸν τρόφιμον καὶ ἀσκητῶν τὸν ἐφάμιλλον, Ἀνδρέαν τὸν διὰ Χριστὸν σαλὸν ἐπαίνοις τιμήσωμεν· δι᾽ ἀμυθήτων γὰρ πόνων, καὶ ἀγώνων πλείστων Θεῷ εὐηρέστησε, καὶ εἰς ὕψος θεωριῶν καὶ ἀποκαλύψεων ἔφθασε, τὰ ἀθέατα ἀῤῥήτως θεασάμενος, καὶ τὰ ἀνήκουστα ξενοτρόπως ἀκουτισθείς. Πρὸς ὃν βοήσωμεν παῤῥησίαν κεκτημένος πρὸς Χριστόν, ἱκέτευε, καὶ ἡμᾶς τὰς τοῦ πονηροῦ ἐνέδρας ἐκφυγεῖν καὶ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Τῆς Ἑορτῆς.

Νῦν ἀπολύεις, Τρισάγιον καὶ τὰ Ἀπολυτίκια.

Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Μωρίαν ἑκούσιον διὰ Χριστὸν τὸν Θεόν, ἐπόθησας Ὅσιε, τὸν σοφιστὴν ἀληθῶς, μωράνας καὶ ἤνυσας, μέσον πολλῶν θορύβων, τὸν ἀγῶνα Ἀνδρέα· ὅθεν σε ὁ Δεσπότης, Παραδείσου πρὸς πλάτος, ἐσκήνωσε πρεσβεύειν ὑπὲρ τῶν τιμώντων σε.

Δόξα. Ἕτερον.

Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Τὸν μωραῖς προσποιήσεσι καὶ σαλότητι, καθυποτάξαντα πάθη τὰ ψυχοκτόνα σαρκός, καὶ συντρίψαντα μισόκαλον τὸν δόλιον, ὡς θείου

Πνεύματος ναὸν καὶ ὁσίων ἀσκητῶν, τιμήσωμεν λαμπηδόνα, σοφὸν Ἀνδρέαν, πρεσβείας αὐτοῦ πρὸς Κύριον αἰτούμενοι.

Καὶ νῦν. Θεοτοκίον.

Χαῖρε πύλη Κυρίου ἡ ἀδιόδευτος· Χαῖρε τεῖχος καὶ σκέπη τῶν προστρεχόντων εἰς σέ· Χαῖρε ἀχείμαστε λιμήν, καὶ ἀπειρόγαμε· ἡ τεκοῦσα ἐν σαρκὶ τὸν ποιητήν σου καὶ Θεόν, πρεσβεύουσα μὴ ἐλλείπῃς, ὑπὲρ τῶν ἀνυμνούντων, καὶ προσκυνούντων τὸν τόκον σου.

Καὶ Ἀπόλυσις.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α΄ Στιχολογίαν, Κάθισμα.

Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.

Ὡς ἥλιος λαμπρός, ἐν τῷ μέσῳ τοῦ κόσμου, ἐκλάμπεις μυστικῶς, ἀρετῶν ταῖς ἀκτῖσι, καὶ ἅπαντας διέλαθες, ἱερῶς βιωσάμενος, ὥσπερ ἄγγελος, μετὰ σαρκὸς θεοφόρε· ὅθεν χαίροντες, τὴν σὴν γεραίρομεν μνήμην, Ἀνδρέα μακάριε.

Δόξα. Ὅμοιον.

Μωρὸς διὰ Χριστὸν, κατὰ Παῦλον τὸν μέγαν, γενόμενος σοφέ, ἐν φρονήσει τελείᾳ, εἰς τέλος ἀπεμώρανας, τὸν ἀρχέκακον δράκοντα, καὶ τοῦ Πνεύματος, ὤφθης πολύτιμον σκεῦος, λαμπρυνόμενος, πλούτῳ χαρίτων αὐλῶν, Ἀνδρέα θεόσοφε.

Καὶ νῦν. Τῆς Ἑορτῆς.

Μετὰ τὴν β΄ Στιχολογίαν, Κάθισμα.
Ἦχος γ΄. Θείας πίστεως.
Πλήρης γέγονας, θείας σοφίας, προσποιήσεσι, μωραῖς ἐμφρόνως, διανύων τὸν ἰσάγγελον βίον σου, καὶ μυστικῶν θεαμάτων ἠξίωσαι, τῶν ἐσομένων προλέγων τὴν ἔκβασιν. Ἀνδρέα Ὅσιε, Χριστὸν τὸν θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.
Δόξα. Ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.
Κατεπλήττετο ὁρῶν, τὴν σὴν ἰσάγγελον ζωήν, Ἐπιφάνιος, σοφέ, ὁ φοιτητής σου, ὁ κλεινός, καὶ τὴν δοθεῖσάν σοι χάριν παρὰ Κυρίου, ὅτι τὰ κρυπτά, ἁπάντων ἔβλεπες, οἷα ἐμφανῆ, πλουσίᾳ χάριτι, πρὸς ἀρετὴν ἰθύνων τοῖς τρόποις σου, ἐν ἀποκρύψει τοῦ βίου σου, Ἀνδρέα μάκαρ· μεθ᾽ οὗ δυσώπει, σῴζεσθαι τὰς ψυχὰς ἡμῶν.
Καὶ νῦν. Τῆς Ἑορτῆς.

Στὸν Πολυέλεον, ἡ ἐκλογὴ τοῦ Ὁσίου Ἀνδρέου [ὑπὸ Ἀθανασίου Σιμωνοπετρίτου].
1. Καὶ δύναμις. Ἀλληλούϊα. Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ πρόσεσχέ μοι. Χαίροις ὁ τῆς ἀνδρείας ἐπώνυμος ἀθλητής, τῆς συνειδήσεως καὶ τῆς ἑκουσίου μωρίας ὁ θεονοὐστατος ἐργάτης. Ἀλληλούϊα.
2. Ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου καὶ κατεύθυνε τὰ διαβήματά μου. χαίροις ὁ ἐνδυσάμενος τὴν χριστοποιοὸν ταπείνωσιν καὶ ἄρας ἐν σοφίᾳ θεοφιλεῖ

τὸν Σταυρὸν τῆς ὑπὲρ φύσιν ἀσκήσεως. Ἀλληλούϊα.
3. Ἰδοὺ ἐμάκρυνα φυγαδεύων καὶ ηὐλίσθην ἐν τῇ ἐρήμῳ. Χαίροις ὁ ἐν μέσῳ τῆς Βασιλευούσης πόλεως ὡς ἐν ἄκρᾳ ἐρήμῳ καταπατήσας τὸν ἀρχαῖον καὶ μισόψυχον πτερνιστήν. Ἀλληλούϊα.
4. Ἠγρύπνησα καὶ ἐγενόμην ὡς στρουθίον μονάζον ἐπὶ δώματος. Χαίροις ὁ διὰ τῆς συμπνόου σοι καὶ ἀδιαλείπτου προσευχῆς τοῖς ἀσωμάτοις Ἀγγέλοις ἄριστα συναμιλληθείς. Ἀλληλούϊα.
5. Τὰ γόνατά μου ἠσθένησαν ἀπὸ νηστείας καὶ ἡ σάρξ μου ἠλλοιώθη δι’ ἔλαιον. Χαίροις ὁ τὴν νηστείαν ἔχων σύμβιον τρυφήν σου καὶ δι’ Ἁγίου Πνεύματος τρεφόμενος μυστικαῖς ἐπιῤῥοαῖς. Ἀλληλούϊα.
6. Ἐκοπίασα ἐν τῷ στεναγμῷ μου λούσω καθ’ ἑκάστην νύκτα τὴν κλίνην μου. χαίροις ἁγνότατε Ὅσιε, ὁ ποταμοὺς δακρύων οὐχ ὑπὲρ σεαυτοῦ, ἀλλ’ ὑπὲρ τῶν δουλωθέντων τῇ ἁμαρτίᾳ δι’ ἀγάπην ἐκχέας. Ἀλληλούϊα.
7. Διὰ τοὺς λόγους τῶν χειλέων σου ἐγὼ ἐφύλαξα ὁδοὺς σκληράς. Χαίροις πληρωτὰ τοῦ Εὐαγγελίου, μᾶλλον δὲ ἔμπνουν καὶ χριστόγραφον Εὐαγγέλιον γενόμενος διὰ τῆς ἐξαισίας βιοτῆς σου. Ἀλληλούϊα.
8. Τὸ ἀγαλλίαμά μου λύτρωσαί με ἀπὸ τῶν κυκλωσάντων με. Χαίροις ὁ ἐπαγαλλόμενος τῇ ψυχοκαθαρτικῇ ἐξουδενώσει, ὡς ὁ σκῦλα πολλὰ καὶ αἰώνια εὑρίσκων. Ἀλληλούϊα.
9. Ἐκοπίασα κράζων, ἐβραγχίασεν ὁ λάρυγξ μου. χαίροις ὁ κόπους τοῖς κόποις σου ἀπλήστως

προστιθέμενος καὶ ὡς θημωνιὰν οὐρανόκαρπον στοιβάσας τοὺς ὑπὲρ Χριστοῦ ἁγιοποιοὺς ἱδρῶτας. Ἀλληλούϊα.
10. Προορώμην τὸν Κύριον ἐνώπιόν μου διαπαντός. Χαίροις ὁ μωσαϊκῶς ὁμιλήσας τῷ Κυρίῳ καὶ ἐξ Αὐτοῦ μυηθεὶς καταλεπτῶς τῆς οὐρανίου βασιλείας τὰ βαθέα μ υστήρια. Ἀλληλούϊα.
11. Ἀγαπήσατε τὸν Κύριον πάντες οἱ Ὅσιοι Αὐτοῦ. Χαίροις ὁ τῶν Ὁσίων τὸν χορὸν ὑπερφαίδρυνας διὰ τῆς ἰσομαρτυρικῆς διαγωγῆς σου καὶ τῶν δοκούντων εἶναι σοφοὺς διαλύσας ὡς ἀράχνην τὴν κενόδοξον ἔπαρσιν. Ἀλληλούϊα.
12. Ψάλλατε τῷ Κυρίῳ οἱ Ὅσιοι Αὐτοῦ καὶ ἐξομολογεῖδσθε τῇ μνήμῃ τπης ἁγιωσύνης Αὐτοῦ. Χαίροις μυριοστέφανε Ἀνδρέα, ὁ κεκρυμμένος μαργαρίτης τοῦ Χριστοῦ καὶ τὴν φαιδρὰν ταύτην πανήγυριν καταλαμπρύνων σήμερον ταῖς ὑπερφώτοις ἀρεταῖς σου/Ἀλληλούϊα.
Δόξα. Τριαδικόν.
13. Ἡ Τριαδικὴ μεγαλειότης, ὁ Ἄναρχος Πατήρ, ὁ συνάναρχος Υἱὸς καὶ τὸ συναιδιον Πνεῦμα, ἡ τὸ πᾶν ζωοῦσα καὶ ἁγιάζουσα, ἁγίασον καὶ ἡμῶν τὰς ψυχὰς ταῖς εὐχαῖς Ἀνδρέου, τοῦ ἐκλεκτοῦ σου ἐντρυφητοῦ. Ἀλληλούϊα.
Καὶ νῦν. Θεοτοκίον.
14. Παντάνασσα Μητρόθεε, ἡ τοῦ Ἁγίου Ὄρους Δέσποινα καὶ Κυρία, σὺν τῷ Ὁσίῳ Ἀνδρέᾳ τῷ σαλῷ, πρεσβεύσατε τῷ φιλτάτῳ σου Υἱῷ ὑπὲρ ἡμῶν τῶν

συνελθόντων ἐν τῷ πανσέπτῳ τούτῳ ναῷ, ὅπως συναγάγῃ πάντα εἰς τὴν πεποθημένην Βασιλείαν. Ἀλληλούϊα.

Κάθισμα. Ἦχος γ΄. Τὴν ὡραιότητα.
Σταυρὸν ἐπ᾽ ὤμων σου, ἀναλαβόμενος, προθύμως ὅσιε κατηκολούθησας, τῷ σταυρωθέντι δι᾽ ἡμᾶς, ἀδίκως μαστιζόμενος, λίθοις τε βαλλόμενος, δαιμόνων προσποιούμενος, ζήσας ὑπὲρ ἄνθρωπον, μάκαρ βίον ἰσάγγελον διὸ καὶ σὺν ἀγγέλοις χορεύων, μέμνησο μάκαρ τῶν τιμώντων σε.
Δόξα. Καὶ νῦν. Τῆς Ἑορτῆς.
Οἱ Ἀναβαθμοί· τὸ α΄ Ἀντίφωνον τοῦ δ΄ ἤχου.
Προκείμενον.
Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.
Στίχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον, ἐν ταῖς ἐντολαῖς αὐτοῦ θελήσει σφόδρα.

Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Λουκᾶν (στ΄ 17-23).(Ὁσιακόν, τῆς ΙΖ΄ Ἰανουαρίου, ὅπερ ζήτει τῇ Παρασκευῇ τῆς Β΄ ἑβδομάδος Λουκᾶ).
Τῷ καιρῷ ἐκείνῳ, ἔστη ὁ Ἰησοῦς ἐπὶ τόπου πεδινοῦ, καὶ ὄχλος μαθητῶν αὐτοῦ, καὶ πλῆθος πολὺ τοῦ λαοῦ ἀπὸ πάσης τῆς Ἰουδαίας καὶ Ἱερουσαλὴμ καὶ τῆς παραλίου Τύρου καὶ Σιδῶνος, οἳ ἦλθον ἀκοῦσαι αὐτοῦ καὶ ἰαθῆναι ἀπὸ τῶν νόσων αὐτῶν, καὶ οἱ ὀχλούμενοι ἀπὸ πνευμάτων ἀκαθάρτων, καὶ ἐθεραπεύοντο. Καὶ πᾶς ὁ ὄχλος ἐζήτει ἅπτεσθαι αὐτοῦ, ὅτι δύναμις παρ᾽

αὐτοῦ ἐξήρχετο καὶ ἰᾶτο πάντας. Καὶ αὐτὸς ἐπάρας τοὺς ὀφθαλμοὺς αὐτοῦ εἰς τοὺς μαθητὰς αὐτοῦ ἔλεγε· μακάριοι οἱ πτωχοί, ὅτι ὑμετέρα ἐστὶν ἡ βασιλεία τοῦ Θεοῦ. Μακάριοι οἱ πεινῶντες νῦν, ὅτι χορτασθήσεσθε. Μακάριοι οἱ κλαίοντες νῦν, ὅτι γελάσετε. Μακάριοί ἐστε, ὅταν μισήσωσιν ὑμᾶς οἱ ἄνθρωποι, καὶ ὅταν ἀφορίσωσιν ὑμᾶς καὶ ὀνειδίσωσι καὶ ἐκβάλωσι τὸ ὄνομα ὑμῶν ὡς πονηρὸν ἕνεκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου. Χάρητε ἐν ἐκείνῃ τῇ ἡμέρᾳ καὶ σκιρτήσατε· ἰδοὺ γὰρ ὁ μισθὸς ὑμῶν πολὺς ἐν τῷ οὐρανῷ.

Ὁ Ν΄ Ψαλμός.
Δόξα.
Ταῖς τοῦ σοῦ Ὁσίου, πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.
Καὶ νῦν.
Ταῖς τῆς Θεοτόκου, πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.
Στίχ. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.
Ἰδιόμελον. Ἦχος β΄.
Συνελθόντες οἱ πιστοί, ἐν εὐφροσύνῃ ψυχῆς, τὴν εὔσημον ἑορτὴν Ἀνδρέου τοῦ θεόφρονος εὐφημήσωμεν οὗτος γὰρ ἐκτινάξας τὴν φθορὰν τῆς σαρκός, ἐν πόνοις τῆς ἐγκρατείας εἰς ἄφθαρτον νῦν κατήντησε ζωήν, καὶ πρεσβεύει ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Οἱ Κανόνες· τῆς Ἑορτῆς μετὰ τῶν Εἱρμῶν εἰς στ΄ καὶ τοῦ Ἁγίου οἱ ἑξῆς δύω εἰς η΄.

Κανὼν πρῶτος.
ᾨδὴ α΄. Ἦχος δ΄. Θαλάσσης τὸ ἐρυθραῖον.
Μεθέξει τῇ πρὸς Θεὸν πανόλβιε, φῶς ἐχρημάτισας, καὶ πρὸς αὐτὸ χωρήσας ἀληθῶς, ἐφετῶν τὸ ἀκρότατον, τῶν ἀγαθῶν ἀπείληφας, Ἀνδρέα μάκαρ, τὸ ἀκρότατον.
Ἐφέσει τῇ πρὸς Θεὸν πληρούμενος, πάντα κατέλιπες, διὰ Χριστὸν στενοῦ μένος σοφέ, ὢ Ἀνδρέα, καὶ εἴληφας, τὰ μηδαμῶς ἐκλείποντα Χριστοῦ βασίλεια, θεόσοφε.
Πλουτήσας τὰ μηδαμῶς κενούμενα, ποθῶν μακάριε, πλοῦτον καὶ δόξαν πρόσκαιρον σοφέ, καὶ τρυφὴν διαῤῥέουσαν, καταφρονήσας εὕρηκας τὸν μαργαρίτην, τὸν πολύτιμον.
Θεοτοκίον.
Ὡραίαν καὶ ἐκλεκτὴν καὶ πάνσεμνον, κατανοήσας σε, ὁ τοῦ Θεοῦ Πανάμωμε Υἱός, σὸς Υἱὸς ἐχρημάτισεν, υἱοθετήσας χάριτι, τοὺς Θεοτόκον, σὲ γεραίροντας.

Κανὼν δεύτερος, οὗ ἡ ἀκροστιχίς·Ἀνδρέαν, τὸν διὰ Χριστὸν σαλὸν ὑμνέω. Χ.Μ.
Ἦχος β΄. Ἐν βυθῷ κατέστρωσέ ποτε.
Ἀνυμνῆσαι, Λόγε τοῦ Θεοῦ, ἐμμελῶς ἀξίωσον κἀμὲ Σὸν δοῦλον, Ἀνδρέαν τὸν ὅσιον, τὸν περιγελώμενον, ἐμπαιζόμενον καὶ ἀδίκως τυπτόμενον διὰ Σὴν ἀγάπην κράζοντα· Χριστὲ σαφῶς δεδόξασαι.

Νικηφόρον ἔσχες ποδηγόν, ἱερέα ἔνθεον ναοῦ Ἁγίας Σοφίας, θεσπέσιε, ἐν τοῖς σοῖς παλαίσμασι πρὸς ἀπόκτησιν ἀρετῆς ὑπὲρ ἔννοιαν, θαυμαστὲ Ἀνδρέα, κλέϊσμα λαμπρὸν Χριστοῦ τῆς πίστεως.
Δεῦτε, Σκύθην πάντες ἱερόν, ὕμνοις εὐφημησωμεν, Ἀνδρέαν πάνυ, σαλὸν προσποιούμενον ἐν τῇ Βασιλίδι, οὗ τὰ σκάμματα οὐρανόθεν ηὐλόγησεν ἡ Ἀναστασία, ἡ πανευσθενὴς Φαρμακολύτρια.
Θεοτοκίον.
Ῥῦσαι, Θεοτόκε, συμφορῶν, σὲ τοὺς μεγαλύνοντας καὶ ἐκζητοῦντας σὴν θείαν ἀντίληψιν, Κεχαριτωμένη, καταφύγιον τοῦ βροτείου συστήματος καὶ παραμυθία, πάντων θλιβομένων οὐρανόσδοτε.
Καταβασία. Τῆς τυχούσης Ἑορτῆς.

ᾨδὴ γ΄. Εὐφραίνεται ἐπὶ σοί.
Προθύμως πρὸς νοητά, ἐναπεδύσω τοῦ ἐχθροῦ σκάμματα, τρέπων αὐτοῦ φάλαγγας, θεία συμμαχία τοῦ Πνεύματος.
Ἀνάλωτος ἡδονῶν, ἀναδειχθεὶς πυρκαίαν ἔσβεσας, ὕλης παθῶν ἄνθραξι, θείων προσευχῶν σου ἀοίδιμε.
Ταῖς μάστιξι τῶν εὐχῶν, καὶ ἐγκρατείας ταῖς πληγαῖς, Ὅσιε, τὴν τῶν παθῶν Αἴγυπτον, σὺ Ἀνδρέα, ὄντως ἐμάστιξας.
Θεοτοκίον.
Ῥυόμενον τοὺς βροτούς, παρακοῆς τοῦ χαλεποῦ πτώματος, τὸν τοῦ παντὸς Αἴτιον, ἄχραντε Πανάμωμε

τέτοκας.

Κανὼν δεύτερος. Ἐξηνθησεν ἡ ἔρημος.
Ἐν πόνοις σου σαλότητος, Ἀνδρέα θειότατε, τὸν θεολόγον καὶ φίλτατον μαθητὴν Χριστοῦ τοῦ Παντάνακτος ἔσχες, τὸν σὲ ἰσχύσαντα, μακάριε.
Ἀνδρέα, ὥσπερ ἔξηχος ἐβίως καὶ ἄσωτος ἐν Βυζαντίω ὑπέρσοφε, ὁ ἐχέφρων ὄντως καὶ πάνσεπτος καὶ ἐγκρατής, ἁγνὸς καὶ θεοφρούρητος.
Νικήσας τὸν ἀλάστορα μωραῖς προσποιήσεσι ταῖς σαῖς, Ἀνδρέα θεόληπτε, τῶν Ἀγγέλων δήμους κατηύφρανας καὶ πάντων εὐσεβῶν χοροὺς ἠγλάϊσας.
Θεοτοκίον.
Τῆς ἁμαρτίας καύσωνα εὐχῶν σου τοῖς νάμασι δρόσισον, Θεογεννήτρια, ὀμβροφόρον νέφος θεοδρόσον πιστῶν τὸ καταρδεῦον τὰ συστήματα
Καταβασία. Τῆς τυχούσης Ἑορτῆς.

Κάθισμα. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.
Πυρᾷ τῆς ἀσκήσεως δοκιμασθεὶς τὴν ψυχήν, καὶ μέλη τεφρώσας σου τὰ ἐπὶ γῆς ἀνδρικῶς, Ἀνδρέα ἀοίδιμε, ἤχθης ἐν τῇ τραπέζῃ, τῆς ἁγίας Τριάδος, πνέων τὴν εὐωδίαν, τῶν ἐνθέων ἱδρώτων· ὀσμὴ γὰρ ὑπάρχεις τοῦ Χριστοῦ, μακαριώτατε.
Δόξα. Καὶ νῦν. Τῆς Ἑορτῆς.

Ὠδὴ δ΄. Ἐπαρθέντα σε ἰδοῦσα.
Συνωθούμενος πρὸς τρῖβον δικαιοσύνης, ὑπὸ μωρῶν Ἀνδρέα θείας πρὸς ἐπαύλεις, Ὅσιε κατήντησας, σωτήριον ἔλλαμψιν, πρὸς Χριστοῦ πλουτήσας πανόλβιε.
Τὴν καρδίαν σου πυξίον κεκαθαρμένον, ἡ τοῦ ἁγίου Πνεύματος χάρις εὑραμένη, Πάτερ κατέγραψατο, τελείαν ἀπάθειαν, πίστιν καὶ ἀγάπην ἀνόθευτον.
Νικητικῷ σε στεφάνῳ, Ἀνδρέᾳ μάκαρ, ὁ βασιλεὺς κατέστεψε πάντων τῶν αἰώνων στησάμενον τρόπαια, κατὰ τοῦ ἀλάστορος, λίαν θαυμαστὰ καὶ ἐξαίρετα.
Θεοτοκίον.
Ὁ καθήμενος τῷ θρόνῳ τῷ ἐπηρμένω, χερουβικὸν ὡς θρόνον σε, ἔσχεν ἐν ἀγκάλαις, σοῦ ἀναπαύσεως, Μαρία πανάχραντε ὁ δεδοξασμένος Θεὸς ἡμῶν.

Κανὼν δεύτερος. Ἐλήλυθας ἐκ Παρθένου.
Ὁ νοῦς σου, Ἀνδρέα μάκαρ, πρὸς θεῖον τεινόμενος τῶν προσυλῶν σχέσεων ἀνέδειξέ σε ὑπέρτερον· ὅθεν ξένοις τρόποις σου Χριστὸν ἐδόξασας, πάτερ, ταπεινώσεως ἄγαλμα.
Νικήσας τὸν παλαμναῖον μωραῖς προσποιήσεσι, προσευχαῖς ἀόκνοις σου καὶ κακουχίαις καὶ θλίψεσι, νίκης στέφος εἴληφας, Ἀνδρέα σοφώτατε, ἐκ χειρῶν τοῦ σὲ ἐνισχύσαντος.
Δυνάμει Χριστοῦ, Ἀνδρέα, δαιμόνων ἠσθένησας ζοφερὰ τοξεύματα ἐνδυναμούμενος, ὅσιε, τὴν ψυχήν, καὶ τάγματα πιστῶν κατηγλάϊσας, πόθῳ νῦν τιμῶντα

τὴν μνήμην σου.
Θεοτοκίον.
Ἰλέωσαι τοῖς τὸν Τόκον ἡμῖν μακαρίζουσι σὲ ἀπαύστως, Δέσποινα, Θεογεννῆτορ πανύμνητε, ἱεροῖς μελίσμασι καὶ πίστει κραυγάζουσι· Δόξᾳ τῇ δυνάμει Σου, Κύριε.
Καταβασία. Τῆς τυχούσης Ἑορτῆς.

ᾨδὴ ε΄. Σὺ Κύριέ μου φῶς.
Ὑπέρφωτον αὐγήν, σὺ Ἀνδρέα δεξάμενος, ὡς ἥλιος καθωράθης, τῶν δαιμόνων τὸ στῖφος, Ἀνδρέα, μειωσάμενος.
Τῷ ἔρωτι Χριστοῦ, ἐπτερώθης ἀοίδιμε, τοὺς ἔρωτας δαιμόνων, ὡς ἀφροὺς θαλαττίους, σοφῶς ἀποκρουσάμενος.
Δυνάμει θεϊκῇ, τὴν ψυχὴν δυναμούμενος, ἠσθένησας τῶν δαιμόνων, τὰ τόξα καὶ τὰ βέλη Ἀνδρέα πανσεβάσμιε.
Δυνάμει Χριστοῦ, Ἀνδρέα, δαιμόνων ἠσθένησας ζοφερὰ τοξεύματα ἐνδυναμούμενος, ὅσιε, τὴν ψυχήν, καὶ τάγματα πιστῶν κατηγλάϊσας, πόθῳ νῦν τιμῶντα τὴν μνήμην σου.
Θεοτοκίον.
Ῥοῦς ἔστη τῆς φθορᾶς, ἡ Παρθένος· ἀφθόρως γὰρ ἐκύησε Θεὸν Λόγον, ὑπὲρ φύσιν καὶ λόγον, Παρθένος διαμείνασα.

Κανὼν δεύτερος. Μεσίτης Θεοῦ.
Ἀνδρέα σοφέ, ὁ συναυλιζόμενος ἀγέλαις κυνῶν, ἐν ταῖς ῥύμαις Πόλεως, καὶ τῶν ἐπαιτῶν ταῖς ὁμηγύρεσιν, ἠξιώθης Ἀγγέλοις σὺν τοῖς χοροῖς εὐφραίνεσθαι.
Χάριτι Θεοῦ διήνυσας βίον σου, καθάπερ μωρὸς καὶ τῆς ἐπαιτείας σου ξένως διεμοίραζες τὰ ἀργύρια σὺν κολάφοις, Ἀνδρέα, ἵνα σαλόν σε νομίσωσι.
Ῥάβδῳ σῆς σοφίας, Ἀνδρέα, προσείλκυσας τῶν θείων Γραφῶν γνώστην Ἐπιφάνιον, ὅνπερ ἐν ἀγῶνι καλῷ ἐνίσχυσας καὶ οὗ μέλλον, Ἀνδρέα, τὸ εὐκλεὲς προεώρακας.
Θεοτοκίον.
Ἰοβόλα βέλη ἐχθροῦ ἀπεδίωξας, ἀσπίδι τοῦ σοῦ Τόκου ἐκ τοῦ γένους τῶν βροτῶν, Παρθένε Θεογεννήτρια, τὸ νῦν ὕμνοις εὐτάκτοις καὶ μελίχροις μακαρίζον σε.
Καταβασία. Τῆς τυχούσης Ἑορτῆς.

Ὠδὴ στ΄. Θύσω σοι μετὰ φωνῆς.
Ὁ νοῦς σου, ὁλικῶς πρὸς τὸ θεῖον τεινόμενος, ταῖς ἀνενδότοις μελέταις, σαρκικῆς στοργῆς ἐνετρύφησεν, ἀγαθῶν σοι, ὦ Ἀνδρέα, προξενῶν τὴν ἀντίδοσιν.
Μωρίαν, προσποιήσει σοφῶς ὑποκρίνεσαι, τὸν σοφιστὴν τῆς κακίας, ἐκμωραίνων μάκαρ σεσοφισμέναις, ἐνεργείας, τοῦ τὰ πάντα σοφίζοντος Πνεύματος.
Ὑπάρχων, σαρκικῶς φρονημάτων ἀνώτερος, τὸν λογισμὸν οὐκ ἐτρώθης, τῶν πορνῶν ἐν μέσῳ ἱστάμενος, ἀπαθείας τὴν στολὴν γὰρ Ἀνδρέα

ἐνδέδυσαι.
Θεοτοκίον.
Στόματι, λογισμῷ καὶ καρδίᾳ Πανάχραντε, σὲ Θεοτόκον κηρύττω, διὰ γὰρ σοῦ καταλλαγὴν ἀπωσμένος, εὗρον Κόρη, παραβάσει τὸ πρὶν τοῦ προπάτορος.

Κανὼν δεύτερος. Ἐν ἀβύσσῳ πταισμάτων.
Σφοδροτάτου χειμῶνος τὴν ἔφοδον αἴθριος ὑπέμεινας, Ἀνδρέα ὅσιε, καὶ ἀκλινῶς εὐχόμενος ἄχρι δόμων Ἐδὲμ ἀναβέβηκας.
Τῆς τρυφῆς Παραδείσου ἀπήλαυσας δύο ἑβδομάδας, ὦ θεοφορούμενε, καὶ ταύτην διηγούμενος Νικηφόρῳ ὡς κρίνον ἐμύριζες.
Ὁσιώτατε πάτερ, ὑπέμεινας χάριτι τοῦ Κτίσαντος, Ἀνδρέα, σκώματα, αἰκίας τε καὶ γέλωτας καὶ δεινοὺς ῥαβδισμοὺς ὥσπερ ἄσαρκος.
Θεοτοκίον.
Νεκταρόβρυτον κρίνον ἐξήνθησας Λόγον τοῦ Παντάνακτος, Θεογεννήτρια, ἡδῦνον κόσμου σύμπαντα σωτηρίας ὀδμαῖς, μητροπάρθενε.
Καταβασία. Τῆς τυχούσης Ἑορτῆς.

Κοντάκιον. Ἦχος πλ. δ΄. Τῇ ὑπερμάχῳ.
Τὸν ἑκουσίως κακουχούμενον, πενόμενον, ἐμπαροινούμενον ἑκάστοτε, τυπτόμενον, λιθαζόμενον καὶ θέατρον ἐποφθέντα κόσμῳ μέλψωμεν Ἀνδρέαν ὁσιώτατον, ὥσπερ σαλὸν διὰ Χριστὸν πολιτευσάμενον,

πόθῳ κράζοντες· Χαίροις, Πάτερ θεόληπτε.
Ἕτερον Κοντάκιον. Ἦχος α´. Χορὸς ἀγγελικός.
Τὸν βίον εὐσεβῶς, ἐκτελέσας θεόφρον, δοχεῖον καθαρόν, τῆς Τριάδος ἐδείχθης, Ἀνδρέα μακάριε, καὶ Ἀγγέλων ὁμόσκηνος· ὅθεν αἴτησαι τὸν ἱλασμὸν καὶ εἰρήνην, τοῖς τιμῶσί σε, καὶ ἐκτελοῦσι σὴν μνήμην, δοθῆναι πρεσβείαις σου.

Ὁ Οἶκος.
Ἄγγελοι προσποιήσεις τὰς μωράς σου, Ἀνδρέα, ἐθαύμασαν, πανόσιε πάτερ, ὅτι πέλων σοφὸς ἀληθῶς ὡς σαλὸς ἐβίως, δαιμόνων, ἔξηχος καὶ ἀνο μος· διόπερ νῦν βοῶμέν σοι ἀξιόχρεως·Χαῖρε, ἀπαύγασμα ἐγκρατείας·χαῖρε, θησαύρισμα ἀπαθείας.Χαῖρε, τοῦ Χριστοῦ ἐν σαρκὶ φέρων στίγματα·χαῖρε, τοῦ ἐχθροῦ ὁ συντρίψας φρυάγματα.Χαῖρε, πάτερ, ἐνδιαίτημα προσποιήσεων μωρῶν·χαῖρε, ἄνερ, καλλιέργημα προσφερθεὶς διὰ Χριστόν.Χαῖρε, ὅτι κατεῖδες Παραδείσου τὸ κάλλος·χαῖρε, ὅτι ἀνεῖλες ἀρχεκάκου τὸ μένος.Χαῖρε, αὐτόπτης τῆς Σκέπης Παρθένου·χαῖρε, ὁ λάτρης τοῦ Λόγου Ὑψίστου.Χαῖρε, σοφῶς σὺν κυσὶν ὁ βιώσας·χαῖρε, σαφῶς ὡς σαλὸς διαπρέψας.Χαίροις, Πάτερ θεόληπτε.

Συναξάριον.
Τῇ ΚΗ´ τοῦ αὐτοῦ μηνός, μνήμη τοῦ Ὁσίου καὶ θεοφόρου Πατρὸς ἡμῶν Ἀνδρέου τοῦ διὰ Χριστὸν σαλοῦ.

Στίχοι.
Ὁ διὰ Χριστὸν Ἀνδρέας σαλὸς πάλαι συνετὸς νῦν πέφυκεν ἐν τῷ Κυρίῳ.
Παύλου τὸ ῥῆμα καὶ μεταστὰς Ἀνδρέας Ἡμεῖς γε μωροὶ διὰ Χριστὸν κεκράγει.

Ὠδὴ ζ΄. Ἐν τῇ καμίνῳ.
Κεκρατημένος, μάκαρ θεομιμήτῳ θείᾳ στοργῇ, ἄλλους εἰς τὸ σῴζειν περιχαρῶς ἑαυτὸν βοῶν ἐξέδωκας· εὐλογημένος εἶ ἐν τῷ ναῷ τῆς δόξης σοῦ Κύριε.
Μισήσας κόσμον, καὶ τὰ ἐν κόσμῳ ἰσάγγελον βίον ἠρετίσω μάκαρ, καὶ τῇ στοργῇ τοῦ Κυρίου πυρπολούμενος, συνετὼς ἔψαλλας· εὐλογημένος εἰ ἐν τῷ ναῷ τῆς δόξης σοῦ Κύριε.
Κατακρατήσας, ἔρως ὁ θεῖος, Πάτερ, σοῦ ὁ τὴν ψυχήν, ἐνεποίει πόνων ἀσκητικῶν, ἐκβοὰν σὲ προτρεπόμενος, εὐλογημένος εἰ ἐν τῷ ναῷ τῆς δόξης σου Κύριε.
Θεοτοκίον.
Ἀνακληθεῖσα ἡ ἀνθρωπότης διὰ σοῦ Ἁγνή, πρὸς τὴν ἀφθαρσίαν γέγονε κοινωνός, Παναγία θείας φύσεως, εὐλογημένη σὺ ἐν γυναιξὶ ὑπάρχεις Πανάμωμε Δέσποινα.

Κανὼν δεύτερος. Ἀντίθεον πρόσταγμα.
Σαλότητος τρόποις σου τοῖς ξένοις ὤφθης, Ἀνδρέα, κυάθιον τοῦ Παρακλήτου Πνεύματος χρυσοῦν καὶ

πολύτιμον, ἀσκητικῆς ἀγωγῆς μάργαρον, θεόπνευστε, δικαία τυμβωρύχου ὄντως ἐκτύφλωσις.
Ἁγνείας φυτούργημα καὶ μυροβόλον σεμνότητος κύμινον, τὴν οἴησιν ἀπέβαλες ἑκὼν καὶ ἠγάπησας μωρίαν διὰ Χριστόν, ἵνα Τούτῳ φρόνιμος ὀφθῇς σοφὲ Ἀνδρέα, τῷ σὲ δοξάσαντι.
Λαμπὰς ἐκ τοῦ στόματος οὐρανομήκης ἐξήρχετο θείου σου, δηλοῦσα σὴν ὁλόθερμον ἀγάπην πρὸς Κύριον, Ἀνδρέα θεοειδές, Ὃν δυσώπει πάντοτε ὑπὲρ τῶν εὐφημούντων σὰ κατορθώματα.
Θεοτοκίον.
Ὁ θρόνος ὁ πάνσεπτος τοῦ Βασιλέως ἁπάσης τῆς κτίσεως, καὶ οἶκος ὁ πανάγιος τοῦ πάντων δεσπόζοντος, ἡ Θεοτόκος ἁγνή, πόθῳ ἀνυμνείσθω μοι ᾠδαῖς μελισταγέσι καὶ ὕμνοις πρέπουσι.
Καταβασία. Τῆς τυχούσης Ἑορτῆς.

ᾨδὴ η΄. Χεῖρας ἐκπετάσας Δανιήλ.
Ὁλόφωτος πέφυκας ἀστήρ, τοὺς ἐν βορβόρῳ παθῶν χειραγωγὼν πρὸς ζωήν, ποιεῖς γὰρ σώφρονας ἄφρονας, σωφροσύνῃ πολιτεύεσθαι, καὶ ἐκδιώκεις χαλεπὰ βοῶν νοσήματα· εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.
Ὑπάρχων ἀκέραιος τὸν νοῦν, ἐν ἀποκρύψει σοφῶν, θαυμάτων Ὅσιε, πολλοὺς ἐζώγρησας παίζεσθαι, διὰ Κύριον ἑλόμενος, καὶ μυκτηρίζεσθαι βοῶν, καθαρωτάτῃ ψυχῇ· εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Τεσσαράκοντα νήστις ἡμέρων, ἀνύων δίαυλον, Πνεῦμα τὸ ἅγιον εἶχες σιτίζον σε, Ὅσιε, οὐρανίαν ἀγαλλίασιν· ᾧ γεγηθότι ἐψαλλες Ἀνδρέᾳ πνεύματι· εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

Θεοτοκίον.

Ῥυόμενος ἐλαμψεν ἡμῖν, ἐκ σοῦ ὁ Κύριος Παρθένε ἄχραντε, ὃν καθικέτευε πάντοτε, τοῦ φωτίσαι τοὺς ὑμνοῦντάς σε, καὶ περιστάσεως ἡμᾶς ἀπολυτρώσασθαι τοὺς βοῶντας· πάντα τὰ ἔργα εὐλογεῖτε τὸν Κύριον.

Κανὼν δεύτερος. Κάμινός ποτε.

Νύκτωρ, θεαυγὲς Ἀνδρέα, τῷ Κυρίῳ καὶ Λυτρωτῇ σου προσευχόμενος, τὸ πνεῦμα ἀνέτεινας πρὸς Αὐτόν, καὶ χάριν εἴληφας πάντα γιγνώσκειν, πάτερ, ἐσόμενα, ἃ Ἐπιφανίω σεπτῷ ἀπεκάλυπτες.

Ὕψωσον τὰς σὰς παλάμας πρὸς τὸν Κτίστην, ὑπὲρ τῶν πίστει ἐκτελούντων σου τὴν μνήμην τὴν πάντιμον, καὶ φοιτώντων τῷ τεμένει σου, Ἀνδρέα σῶφρον, τῷ ἐν τῷ Ἄθωνι, ἵνα βίου κρείττονος τύχωσι τάχιστα.

Μέσον γυναικῶν, Ἀνδρέα, πανασέμνων, σεμνέ, διέκεισο ὡς ἄσαρκος, προβάλλων τὴν νέκρωσιν Ἰησοῦ Χριστοῦ, ἐν μέλεσι τοῖς σοῖς καὶ ψάλλων ἐκθύμως ἤσκησας· Εὐλογεῖτε πάντα τὰ ἔργα τὸν Κύριον.

Θεοτοκίον.

Νεῦσον ταῖς ἡμῶν δεήσεσι, Παρθένε, σαρκὸς ὀρέξεις καταπαύουσα σὺ γὰρ Μητροπάρθενε, πέλεις χοϊκῶν ἀντίληψις, τῶν ἐκβοώντων τρανῶς τῷ Τόκῳ σου· Εὐλογεῖτε πάντα τὰ ἔργα τὸν Κύριον.

Καταβασία. Τῆς τυχούσης Ἑορτῆς.

ᾨδὴ θ΄. Λίθος ἀχειρότμητος.
Ὅλῃ τῇ Τριάδι προθύμως, ἀνατεθεὶς ἀπὸ καρδίας, καὶ τὰς ἐξ αὐτῆς μαρμαρυγὰς ἀγαθοδότως ὑποδεξάμενος, φωτοειδὴς γενόμενος, Ἀνδρέα, ταύτῃ νῦν παρίστασαι.
Πόθῳ θεϊκῷ τετρωμένος, καὶ τῇ ἀγάπῃ συνημμένος, τῶν ἐλπιζομένων ἀγαθῶν ἐν μετουσίᾳ Ἀνδρέα γέγονας, καὶ μακαρίαν εἴληφας, θεομακάριστε ἀπόλαυσιν.
Ὁ τὰς τοῦ ἐχθροῦ μεθοδείας, γυμνώσει σώματος πατήσας, πάθη τῆς σαρκός τε νεκρώσας, καλῶν ἰδέαις καταστραπτόμενος, πρὸς οὐρανὸν ἐχώρησας, Ἀνδρέα νῦν ἐπαγαλλόμενος.
Θεοτοκίον.
Σῶσόν με τὸν πάντων τεκοῦσα, καὶ λυτρωτὴν καὶ εὐεργέτην, λῦσον τῆς ψυχῆς μου τὰ νέφη, Κυρία πάντων ἁγία Δέσποινα, καὶ δυνατὸν ἀπέργασαι, κατὰ παθῶν πολεμούντων με.

Κανὼν δεύτερος. Ἀνάρχου Γεννήτορος.
Ἐγένου τοῖς μέροψι καὶ τοῖς Ἀγγέλοις θέατρον ἐν μωρίᾳ ἀνύσας, Ἀνδρέα, βίον σου, ἔμφρον, ἀφροσύνῃ τε ἄκρᾳ, τοῖς μὲν σοῖς πόνοις ἐκπληττομένοις, τοῖς δὲ ἀσπλάγχνως σε κολαφίζουσι καὶ τύπτουσιν.
Ὦ πάτερ θεόληπτε, ὁσίων θάμβος ἄῤῥητον, νῦν οὐρανοπολίτης, Ἀνδρέα, περίδοξος πέλων μονοτρόπων χορείας, ἀεὶ ἰθύνεις πρὸς σωτηρίαν τοῖς σὲ τιμῶσιν ὡς ἀπλανέστατον ἰθύντορα.

Χριστὸν ἐπεπόθησας ἐξ ὅλης τῆς καρδίας σου καὶ Αὐτοῦ τὴν μητέρα, Ἀνδρέα, ἑώρακας, σκέπουσαν αὐτῆς μαφορίῳ τοὺς εὐσεβοῦντας ἐν ταῖς Βλαχέρναις, καὶ πάντα χριστώνυμον ὕμνοις θείοις σε γεραίροντας.
Θεοτοκίον.
Μετάνοιαν δίδου μοι γνησίαν σαῖς δεήσεσι, Θεοτόκε Παρθένε, Ἀνδρέαν τῷ μέλποντι, καὶ λαμπρῶς τελοῦντι τὴν μνήμην αὐτοῦ τὴν θείαν καὶ σεβασμίαν, πιστῶν ὁμηγύρεως ἡ στεῤῥὰ κρηπὶς θεώσεως.
Καταβασία. Τῆς τυχούσης Ἑορτῆς.

Ἐξαποστειλαριον. Ἦχος γ΄. Ἐν πνεύματι τῷ ἱερῷ.
Ὑπερτέρα καὶ τοῦ νοός, ἡ καρτερία σου Πάτερ, διὸ καὶ μισθοὺς μείζονας ἐκ Θεοῦ ἐκομίσω, Ἀνδρέα ὦ Θεομάκαρ, τῶν Ὁσίων σύσκηνε, καὶ νοῶν τῶν οὐρανίων, τοὺς τιμῶντάς σε πιστῶς, ἐπιθυμίας τῶν παθῶν, ῥῦσαι ταῖς σαῖς μεσιτείαις.
Καὶ τῆς Ἑορτῆς.

Εἰς τοὺς Αἵνους, ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια. Ἦχος πλ. δ΄. Ὢ τοῦ παραδόξου θαύματος.
Ἀνδρέα μάκαρ ἀοίδιμε, ἱερωτάτην ψυχήν, θεοφρόνως κτησάμενος, πειρασμοὺς ὑπήνεγκας, θείᾳ πίστει ῥωννύμενος, καὶ δι᾽ ἀγάπης Θεῷ ἑνούμενος, τῇ τῶν πραέων γῇ κατεσκήνωσας, ὡραϊζόμενος ἀρετῶν λαμπρότησιν ὅθεν τὴν σήν, μνήμην εὐφραινόμενοι, πανηγυρίζομεν. (δίς)

Πάτερ Ἀνδρέα τρισόλβιε, διὰ πολλῶν πειρασμῶν, καὶ συντόνου δεήσεως, τῆς σαρκὸς τὸ φρόνημα, τῇ ψυχῇ καθυπέταξας, καὶ χαρισμάτων ἔμπλεως γέγονας, τοῦ Παναγίου Πνεύματος Ὅσιε· ᾧ στηριζόμενος, τῶν πνευμάτων φάλαγγας τῶν πονηρῶν, ἔτρεψας τοῖς ἄθλοις σου, καὶ καθυπέταξας.

Μάκαρ Ἀνδρέα ἀείμνηστε, διὰ τὴν ὄντως ζωήν, τῆς παρούσης ἠλόγησας, καὶ τοῖς πόνοις ἔκδοτον, σοῦ τὸ σῶμα παρέδωκας, πρὸς τὴν ἀγήρω καὶ ἀτελεύτητον, τρυφὴν ἐνθέως ἀποσκοπούμενος· ἧς καὶ ἐπέτυχες, σὺν ὁσίων τάγμασι διηνεκῶς, θρόνῳ τοῦ παντάνακτος, νῦν παριστάμενος.

Δόξα. Ἦχος πλ. α΄.

Ἀνδρέα πανόσιε, σὺ τὴν στενὴν καὶ τεθλιμμένην τρῖβον, ἐξ ἁπαλῶν ὀνύχων διήνυσας, ἐν τῇ τοῦ Βύζαντος πόλει ὡς παρατετραμμένος διερχόμενος, καὶ τὰ φερέπονα γενναίως ὑπενεγκών, ὑπὲρ ἥλιον ἔλαμψας, τοῦ ἡλίου τῆς δικαιοσύνης ἐπιποθῶν τὴν βασιλείαν ἰδεῖν καὶ ἀπολαύσαι ἧς ἐν μετοχῇ γεγονώς, συναυλίζῃ νῦν τοῖς χοροῖς τῶν ἀσωμάτων. Διὸ πρέσβευε Χριστῷ τῷ Θεῷ, λυτρωθῆναι ἡμᾶς, ὁρατῶν καὶ ἀοράτων ἐχθρῶν, πολεμίων τε βαρβάρων ἀθέων, καὶ παντοίων νόσων ψυχοφθόρων, τοὺς ἐτησίως τιμῶντας τὴν πανσεβάσμιον μνήμην σου.

Καὶ νῦν. Τῆς Ἑορτῆς.

Δοξολογία μεγάλη καὶ Ἀπόλυσις.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ Τυπικὰ καὶ οἱ Μακαρισμοί, καὶ ἐκ τῶν Κανόνων τοῦ Ἁγίου ἡ γ΄ καὶ ἡ στ΄ ᾠδή.
Ἀπόστολος. Πρὸς Κορινθίους Α΄ (γ΄ 18-23).(Ζήτει τῇ ΚΑ΄ Ἰουλίου, ἢ τῇ Πέμπτῃ τῆς ΣΤ΄ ἑβδομάδος).
Προκείμενον. Ἦχος δ΄. (Ψαλμ. λθ΄-λγ΄).
Εὐφρανθήσεται δίκαιος ἐν τῷ Κυρίῳ καὶ ἐλπιεῖ ἐπ᾿ αὐτόν, καὶ ἐπαινεθήσονται πάντες οἱ εὐθεῖς τῇ καρδίᾳ.
Στίχ. Εἰσάκουσον, ὁ Θεός, τῆς φωνῆς μου, ἐν τῷ δέεσθαί με πρὸς σέ.

Πρὸς Κορινθίους Α΄ Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.
Ἀδελφοί, μηδεὶς ἑαυτὸν ἐξαπατάτω· εἴ τις δοκεῖ σοφὸς εἶναι ἐν ὑμῖν ἐν τῷ αἰῶνι τούτῳ, μωρὸς γενέσθω, ἵνα γένηται σοφός. Ἡ γὰρ σοφία τοῦ κόσμου τούτου μωρία παρὰ τῷ Θεῷ ἐστι· γέγραπται γάρ· «Ὁ δρασσόμενος τοὺς σοφοὺς ἐν τῇ πανουργίᾳ αὐτῶν»· καὶ πάλιν· «Κύριος γινώσκει τοὺς διαλογισμοὺς τῶν σοφῶν, ὅτι εἰσὶ μάταιοι». Ὥστε μηδεὶς καυχάσθω ἐν ἀνθρώποις· πάντα γὰρ ὑμῶν ἐστιν, εἴτε Παῦλος εἴτε Ἀπολλῶς εἴτε Κηφᾶς εἴτε κόσμος εἴτε ζωὴ εἴτε θάνατος εἴτε ἐνεστῶτα εἴτε μέλλοντα, πάντα ὑμῶν ἐστιν, ὑμεῖς δὲ Χριστοῦ, Χριστὸς δὲ Θεοῦ.
Ἀλληλούϊα (γ΄). Ἦχος δ΄. (Ψαλμὸς λγ΄).
Στίχ. Ὑπομένων ὑπέμεινα τὸν Κύριον, καὶ προσέσχε μοι καὶ εἰσήκουσε τῆς δεήσεώς μου.
Πολλαὶ αἱ θλίψεις τῶν δικαίων, καὶ ἐκ πασῶν αὐτῶν

ῥύσεται αὐτοὺς ὁ Κύριος.

Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Ματθαῖον (ια´ 27-30).
(Ζήτει τῇ Ε´ Δεκεμβρίου, εἰς τὴν Λειτουργίαν).
Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· Πάντα μοι παρεδόθη ὑπὸ τοῦ πατρός μου· καὶ οὐδεὶς ἐπιγινώσκει τὸν υἱὸν εἰ μὴ ὁ πατήρ, οὐδὲ τὸν πατέρα τις ἐπιγινώσκει εἰ μὴ ὁ υἱὸς καὶ ᾧ ἐὰν βούληται ὁ υἱὸς ἀποκαλύψαι. Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. Ἄρατε τὸν ζυγόν μου ἐφ᾽ ὑμᾶς καὶ μάθετε ἀπ᾽ ἐμοῦ, ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν· ὁ γὰρ ζυγός μου χρηστὸς καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστιν.

Κοινωνικόν.
Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.

Μεγαλυνάριον.
Σοῦ ἡ ὑπὲρ ἄνθρωπον βιοτή, ἐξέπληξε νόας, καὶ δαιμόνων τοὺς ζοφερούς, πῶς γυμνὸς Ἀνδρέα, καὶ ἔξοχον τὸν τρόπον, λαθὼν ἐπολιτεύσω· διὸ τιμῶμέν σε.

